21 [21]Τῷ Γεδσων δῆμος τοῦ Λοβενι καὶ δῆμος τοῦ Σεμεϊ· οὗτοι
22 δῆμοι τοῦ Γεδσων. [22]ἡ ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμὸν παντὸς
ἀρσενικοῦ ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἡ ἐπίσκεψις αὐτῶν ἑπτακισχί-
23 λιοι καὶ πεντακόσιοι. [23]καὶ υἱοὶ Γεδσων ὀπίσω τῆς σκηνῆς παρὰ
24 θάλασσαν παρεμβαλοῦσιν, [24]καὶ ὁ ἄρχων οἴκου πατριᾶς τοῦ δήμου
25 τοῦ Γεδσων Ελισαφ υἱὸς Λαηλ. [25]καὶ ἡ φυλακὴ υἱῶν Γεδσων ἐν
τῇ σκηνῇ τοῦ μαρτυρίου· ἡ σκηνὴ καὶ τὸ κάλυμμα καὶ τὸ κατα-
26 κάλυμμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου [26]καὶ τὰ ἱστία τῆς
αὐλῆς καὶ τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς τῆς οὔσης ἐπὶ
τῆς σκηνῆς καὶ τὰ κατάλοιπα πάντων τῶν ἔργων αὐτοῦ

27 [27]Τῷ Κααθ δῆμος ὁ Αμραμις καὶ δῆμος ὁ Σααρις καὶ δῆμος ὁ
28 Χεβρωνις καὶ δῆμος ὁ Οζιηλις· οὗτοί εἰσιν δῆμοι τοῦ Κααθ. [28]κατὰ
ἀριθμὸν πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω ὀκτακισχίλιοι
29 καὶ ἑξακόσιοι φυλάσσοντες τὰς φυλακὰς τῶν ἁγίων. [29]οἱ δῆμοι
τῶν υἱῶν Κααθ παρεμβαλοῦσιν ἐκ πλαγίων τῆς σκηνῆς κατὰ λίβα,
30 [30]καὶ ὁ ἄρχων οἴκου πατριῶν τῶν δήμων τοῦ Κααθ Ελισαφαν
31 υἱὸς Οζιηλ. [31]καὶ ἡ φυλακὴ αὐτῶν ἡ κιβωτὸς καὶ ἡ τράπεζα καὶ
ἡ λυχνία καὶ τὰ θυσιαστήρια καὶ τὰ σκεύη τοῦ ἁγίου, ὅσα λει-
τουργοῦσιν ἐν αὐτοῖς, καὶ τὸ κατακάλυμμα καὶ πάντα τὰ ἔργα
32 αὐτῶν. [32]καὶ ὁ ἄρχων ἐπὶ τῶν ἀρχόντων τῶν Λευιτῶν Ελεαζαρ
ὁ υἱὸς Ααρων τοῦ ἱερέως καθεσταμένος φυλάσσειν τὰς φυλακὰς
τῶν ἁγίων.

33 [33]Τῷ Μεραρι δῆμος ὁ Μοολι καὶ δῆμος ὁ Μουσι· οὗτοί εἰσιν
34 δῆμοι Μεραρι. [34]ἡ ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμόν, πᾶν ἀρσενικὸν
35 ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἑξακισχίλιοι καὶ πεντήκοντα· [35]καὶ ὁ ἄρ-
χων οἴκου πατριῶν τοῦ δήμου τοῦ Μεραρι Σουριηλ υἱὸς Αβιχαιλ·
36 ἐκ πλαγίων τῆς σκηνῆς παρεμβαλοῦσιν πρὸς βορρᾶν. [36]ἡ ἐπίσκε-
ψις ἡ φυλακὴ υἱῶν Μεραρι· τὰς κεφαλίδας τῆς σκηνῆς καὶ τοὺς
μοχλοὺς αὐτῆς καὶ τοὺς στύλους αὐτῆς καὶ τὰς βάσεις αὐτῆς καὶ
37 πάντα τὰ σκεύη αὐτῶν καὶ τὰ ἔργα αὐτῶν [37]καὶ τοὺς στύλους
τῆς αὐλῆς κύκλῳ καὶ τὰς βάσεις αὐτῶν καὶ τοὺς πασσάλους καὶ
τοὺς κάλους αὐτῶν.

38 [38]Καὶ οἱ παρεμβάλλοντες κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρ-
τυρίου ἀπ' ἀνατολῆς Μωυσῆς καὶ Ααρων καὶ οἱ υἱοὶ αὐτοῦ φυλάσ-

22 η επισκ. $2^0$] ο αριθμος A || 23 υιοι] pr. οι A, ουτοι $B^c$ | παρα — παρεμβ.] παρεμβαλουσιν κατα θαλασσαν A || 24 λαηλ *O*] δαηλ BA || 25 της $1^0 \frown 2^0$ A* || 27 αμβρααμεις $A^{(+)}$ | σααρις] σαριεις B*†, ισσαριεις $B^{c(+)}$ || 29 λιβα] νοτον A*(uid.) || 30 ο > A*† | των > A || 32 επι] pr. ο A | ο $2^0$ > A || 33 μολει B* | ο ομουσι A: cf. 20 | μεραρι $2^0$] pr. του A || 34 παν αρσεν. > A*(uid.)† || 35 πατριας B*† || 36 η φυλ.] της φυλακης A | αυτης ult.] -των A*(uid.) || 37 πασσαλους] + αυτων A | καλους] κλαδους A: item A† in 4 32 || 38 απο ανατολων A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/268 UNIVERSITÄT LEIPZIG